72

τοιοῦτον. ὥσπερ οὖν τῷ τελείῳ ποιοῦν δὲ πᾶν ὅσον ἂν ᾖ φύσει χρηστόν,
ἔτι χρηστότερον ἐργασαμένη ταῖς εἰς αὐτὴν τε καὶ τὰ ἔντερα κα-
θηκούσαις διανέμει φλεψίν. αἱ δ᾽ ὥσπερ οἱ ἐν ταῖς πόλεσιν
ἀχθοφόροι τὸν κεκαθαρμένον ἐν τῷ ταμιείῳ σῖτον εἴς τι κοινὸν τῆς
πόλεως φέρουσιν ἐργαστήριον, πεφθησόμενόν τε καὶ χρήσιμον
εἰς τὸ τρέφειν ἤδη γενησόμενον· οὕτω καὶ αὗται τὴν ἐν τῇ γαστρὶ
κατειργασμένην τροφὴν ἀναφέρουσιν εἴς τι κοινὸν ὅλου τοῦ ζῴου
πέψεως χωρίον, ὃ καλοῦμεν ἧπαρ. ἄνοδος δ᾽ εἰς τὸ χωρίον τοῦ-
το πολλοῖς στενωποῖς κατατετμημένη ὑπάρχει μία· καί
τις αὐτὴν ἀνὴρ παλαιός, δεινός, οἶμαι, περὶ φύσιν, ὠνόμασε
πύλας· ἀπ᾽ ἐκείνου τε μέχρι τοῦ νῦν ὁμοίως δεῦρο αἱ. καὶ Ἱπποκρά-
της τε οὕτως, καὶ πᾶς ὁ σὺν αὐτῷ χορὸς τῶν Ἀσκληπιαδῶν ὀνο-
μάζουσιν· ἐπαινέσαντες τὴν σοφίαν τοῦ πρώτου· πολιτικῇ
διοικήσει τὴν κατὰ τὸ ζῷον ἀπεικάσαντος. ἀλλ᾽ ὥσπερ Ὅμηρος ἐ-
ποίησεν αὐτοκίνητα τὰ τοῦ Ἡφαίστου δημιουργήματα· καὶ τὰς
μὲν φύσας σιδήρου ἅμα τῷ κελεῦσαι τὸν δεσπότην. παντοίην
εὔπρηστον αὐτμὴν ἐξανιείσας· τὰς δὲ θεραπαίνας ἐκείνας τὰς
χρυσᾶς ὁμοίως αὐτῷ τῷ δημιουργῷ κινουμένας ἐξ αὑτῶν· οὕ-
τω μοι καὶ σὺ νόει κατὰ τὸ τοῦ ζῴου σῶμα μηδὲν ἀργὸν μηδ᾽ ἀκί-
νητον, ἀλλὰ πάντα μετὰ τῆς πρεπούσης κατασκευῆς καὶ
θείας τινὰς αὐτοῖς δυνάμεις τοῦ δημιουργοῦ χαρισαμένου.
καὶ τὰς μὲν φλέβας οὐ παραγούσας μόνον τὴν τροφὴν ἐκ τῆς γα-
στρός, ἀλλ᾽ ἑλκούσας ἅμα, καὶ προπαρασκευαζούσας τῷ ἥπα-
τι τὸν ὁμοιότατον ἐκείνου τρόπον. ὡς ἂν καὶ παραπλησίας αὐ-
τῷ φύσεως ὑπαρχούσης, καὶ τὴν πρώτην βλάστην ἐξ ἐκείνου πε-
ποιημένου. αὐτὸ δὲ τὸ ἧπαρ ἐπειδὰν αὐτὴν παραλάβῃ, πρὸς
τῶν ὑπηρετῶν ἤδη παρεσκευασμένην. καὶ οἷον ὑπογραφήν τινα
καὶ ἀμυδρὸν εἶδος αἵματος ἔχουσαν· ἐπάγειν τέλειον αὐτῇ τὸν κό-
σμον. εἰς αἵματος ἀκριβοῦς γένεσιν. ἀλλ᾽ ἐπεὶ τῶν κατὰ τὴν
γαστέρα, τὰ μὲν οὕτω μοχθηρά, καθάπερ ἐν τῷ σίτῳ γῆ καὶ λίθοι καὶ